# ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ

ΠΕΡΙΟΔΙΚΟΝ ΣΥΓΓΡΑΜΜΑ ΣΥΝΤΑΣΣΟΜΕΝΟΝ ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΟΝ

ΥΠΟ

ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΥ

**11**

**1914**

ΦΩΤΟΤΥΠΙΚΗ ΑΝΑΤΥΠΩΣΙΣ * 1969 * RÉIMPRESSION ANASTATIQUE

ΕΚΔΟΣΕΙΣ
ΒΑΣ. Ν. ΓΡΗΓΟΡΙΑΔΗΣ

ÉDITIONS
BAS. N. GRÉGORIADÈS

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. ... ΕΠ.Π
ΙΩΑΝΝΙΝΑ 200...

# ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ

ΤΟΜΟΣ ΙΑ' — 31 Δεκεμβρίου 1914. — ΤΕΥΧΟΣ Α'.

## ΕΠΙΓΡΑΜΜΑΤΑ ΑΝΕΚΔΟΤΑ.

Ἐν τῷ κώδικι Urbin. 134 τῆς βιβλιοθήκης τοῦ Βατικανοῦ, γεγραμμένῳ τὸν δέκατον τέταρτον αἰῶνα, εὕρηνται ἐν φ. 121β-122α τὰ ἑξῆς ἀνέκδοτα ἐπιγράμματα. Οἱ αὔξοντες ἀριθμοὶ προςετέθησαν ὑπ' ἐμοῦ.

### 1.

φ. 121β    Ἕτερα ἰαμβεῖα δίστιχα εἰς ἐρωμένην.

Εἴ μοι προςῆν τὸ στέρνον εὐρὺ καὶ μέγα,
ζώσης ἂν ὤφθη τύμβος ἧς ὁρῶ κόρης.

Εἰς λουτρὸν ἦλθον, καὶ συναντήσαντά σοι
θέρμη προςυπήντησε πρὶν λουτρὸν δῦναι.

Ποθῶ τὰ κάλλη τὰ προςόντα σοι, κόρη,
τὸ δ' ὄμμα μισῶ, πρός με μὴ βλέπειν θέλον.

Πῶς οὐ φθονήσω καὶ ποτηρίῳ τύχης,
τῶν χειλέων ψαύοντι τῶν ῥοδοχρόων;

Ῥόδου σταλαγμὸν δῶρον ἐξέπεμψά σοι
ὡς ἂν διπλῆν κτήσαιο τὴν εὐωδίαν.

Τί μὴ ποθεῖς ποθοῦντα; Φεῦ· τύφου γέμεις.
Ὦ γῆρας, ἐλθέ· τὴν ταπείνωσιν δίδου.

9. Ῥόδου ἐκ Ῥόδον



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἐς αὔριόν με κατιδεῖν ἀεὶ λέγεις.
Γηρᾷς, παρέρχῃ, παῦε τὰς ὑποσχέσεις.
Ὡς μαλθακὸν φίλημα καὶ πᾶν σου μέλος.
Σοὶ καρδία δὲ μόνη πετρώδης ἔφυ.

## 2.

### Ἐπίγραμμα εἰς μῆλον.

Δέχου τὸ μῆλον καὶ νόει τίς τυγχάνεις·
ἐν ταῖς ὀπώραις μῆλον ἔκκριτον μάθε,
πλὴν ἀλλὰ καὶ μάρανσις αὐτῷ συντρέχει.
Ἐν γοῦν γυναιξὶ καὶ σὺ μῆλον εὑρέθης
ὡραῖον, ἐξέρυθρον, εὐῶδες, μέγα.
Πρὶν οὖν μαρανθῇς, σοῦ μετασχεῖν μοι δίδου.

## 3.

### Εἰς κόρην.

Τρεῖς εἰσιν αἱ Χάριτες, ἀλλὰ σὺ μία
ταῖς τρισὶ ταύταις ἐξεγεννήθης, κόρη,
ὅπως ἔχωσιν αἱ Χάριτες καὶ Χάριν.

## 4.

### Εἰς γυναῖκα λουομένην ἐν ποταμῷ.

Ζηλοῖς, ποταμέ, τὸν θαλάττιον τόκον
τῆς ποντογενοῦς, ὡς ἔοικε, Παφίης
καὶ ναμάτων σου γλυκέων ἀειρρόων
ἄλλην ἀνιστᾷς Κύπριν ὡραίαν κόρην.

## 5.

### Εἰς Ἔρωτα.

Ἔρως σκυλεύσας καὶ διαρπάσας ἅμα
ἐξ οὐρανῶν πρὶν καὶ θεῶν συνεδρίου

ε α

**1, 16.** δὲ *μόνη δὲ* **2,1.** *τίς* **3,1** *εἰσὶν* **3,3** *ἔχωσι* **4** Ἐν τῇ ἐπιγραφῇ *γυναῖκαν* **4,1.** *τόκον* ἄνωθεν τῆς λέξεως *ῥόον* διαγεγραμμένης **4,4** *ὡραῖαν*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῦ Λητοΐδου τόξον, ἄρκος [καὶ] κράνος,
Ἡρακλέος ῥόπαλον, Ἑρμοῦ βλαυτίον,
σεισίχθονος δὲ τὸ τρικάρχαρον δόρυ
καὶ τὸν κεραυνὸν τοῦ Διὸς τὸν παμφάγον
ἔνοπλος ἡμῖν μάχεται τοῖς ἀθλίοις.
Οὐ μέμψις εἴκειν καὶ τὸν αὐχένα κλίνειν
τῷ καὶ θεοὺς δείξαντι συγκεκυφότας.

## 6.

Εἰς Δάφνην κοπτομένην ἀξίνῃ.

Ἄπολλον, ἀπόλωλας. Οὐ βλέπεις ὅπως
Ἄρης βιάζει τὴν ἐρωμένην Δάφνην
καὶ ζηλότυπος εἰς ἔρωτα δεικνύῃ;

## 7.

Εἰς φιληθεῖσαν.

Ἂν ὕβριν ἡγῇ τὸν φιλήματος κτύπον,
οὕτω τὸν ὑβρίσαντα νῦν ἀνθυβρίσαις.

## 8.

Εἰς δακτύλιον ἔχοντα καὶ Σωφροσύνην καὶ Ἔρωτα.

Ἔρως φονουργεῖ, Σωφροσύνη κτιννύει.
Ζυγοστατοῦμαι τοῖν δυοῖν τούτοιν μέσον.
Ἔρως γὰρ αὐτὴν Φαῖδραν ὀλλύει πάλαι·
ναί· καὶ τὸν Ἱππόλυτον ἐξάγει βίου
ὁ στερκτὸς αὐτῷ σωφρονέστατος τρόπος.

## 9.

Εἰς τὸν Ἀλφειόν.

Ῥοῦν ἄβροχον κατεῖδον ὕδατος μέσον.
Ἔρως ξενουργὲ τοῦ τεραστίου σθένους.

5,3. *καὶ προςέθηκα* 5,4. *Τὸ β τοῦ βλαυτίον κατὰ διόρθωσιν ἐκ λ* 4,5. *σεισιχθόνος*

## 10.

φ. 122ᵛ Εἰς παῖδα εὐειδῆ ἀσυντηρήτως προκύπτουσαν.

Ὄμφαξ ὁ βότρυς τῆς ἀγαθῆς ἀμπέλου.
Οὐκοῦν ὁρατός ἐστι τοῖς ὁδοιπόροις.
Ἐπὰν δὲ καὶ πέπειρος ὀφθῇ τῷ χρόνῳ,
τὸ θριγγίον στῇ, καὶ πολὺς κύκλῳ σκόλοψ.

## 11.

Εἰς κλίνην δάφνινον.

Φοίβου φυγοῦσα λέκτρα κεῖμαι νῦν λέχος
θνητοῖς ἐρασταῖς, οὐκ Ἀπόλλωνος μόνου.

## 12.

Εἰς Ἀθηνᾶν μῆλον βαστάζουσαν.

Τὴν Κύπριν ἀφόρητα λυπεῖς, παρθένε,
τὸ δῶρον ἁρπάσασα τῆς δίκης δίχα.
Αὐτὴν γάρ, οὐ μὴν Ἥραν οὐδὲ Παλλάδα
καλὴν ἐδογμάτισεν ὁ κριτὴς Πάρις
καὶ δωρεᾶς ἔκρινε ταύτης ἀξίαν.
Ἀρκεῖ μάχῃ προβᾶσα τῷ μήλῳ μία.

## 13.

Εἰς Ἑλένην εὐειδῆ δοκοῦσαν.

Ἂν τὴν Ἑλένην καὶ συναίμους τοὺς δύο
ὁ Ζεὺς ἐκεῖνος ἐξαμειφθεὶς εἰς κύκνον
παῖδας καλοὺς ἔτεξεν ἐκ Λήδας πάλαι,
κόραξ συνελθών, ὡς δοκῶ, τῇ μητρί σου
σὲ τὴν καλὴν ἔτεξεν, ὡς αὐτὴ λέγεις,
ἄλλην Ἐρινῦν οὖσαν, ὡς ἐγὼ λέγω.

*12,1. κύπριν 12,5. ἔκρινεν 12,6. μία ἐκ τοῦ λία 13,2. ἐξαμειφεὶς 13,6. ἐριννῦν*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## 14.

### Εἰς Ἀπόλλωνα ἐν ὑακινθίνῳ λίθῳ ὄντα.

Ἐκ συμπλοκῆς σε, Φοῖβε, τέρπειν οὐκ ἔχων
θέλγει φίλας παῖς ἐξ ὁμωνύμου λίθου.

## 15.

### Εἰς κόρην ἐζωγραφημένην.

Ἔμψυχος ἡ παῖς· ἂν δὲ μὴ λαλεῖν ἔχῃ,
τὰ χρώματα σφάλλουσιν, οὐχ ὁ τεχνίτης.
Σώζοιο, γραφεῦ, ἔμπνοον γράψας κόρην
ὡς μὴ Προμηθεὺς βρενθύηται καὶ πάλιν.

## 16.

### Εἰς καλλίφωνον τεθνηκυῖαν.

Φεῦ ἀλλὰ καὶ σὲ νῦν θανοῦσαν, παρθένε,
μνηστῆρες ἐθρήνησαν ἐκ πόθου πόσοι
τὴν οὐδενὸς μέν, ἀλλ᾽ ἑκάστῳ τῶν ξένων
ὡς ἰδίᾳ μάλιστα τεθρηνημένην.
Χορὸς δ᾽ ἐπεστέναξε Μουσῶν ἐννέα.
Τὴν γὰρ δεκάτην Μουσῶν οὐ βλέπουσί σε
ὁμοῦ μετ᾽ αὐτῶν συγχορεύτριαν κόρην
καὶ θεσμὸν ὡρίσαντο συμφώνως ἕνα
μὴ Πιερίαν, ἀλλὰ σὸν στέγειν τάφον.
Ἡ γὰρ βροτοῖς ἐν ζῶσι πρὶν δεδειγμένη
ἑῷος ἀστὴρ παμφαής, σελασφόρος
ὡς Ἕσπερος νῦν ἐν νεκροῖς λάμπεις κάτω.

## 17.

### Εἰς γραῦν.

Μὴ βάπτε τὰ πρόσωπα μηδ᾽ ἀναχρίου,

*14.* Ἐν τῇ ἐπιγραφῇ ὄντι  *15,2.* τεχνίτης ἐκ τοῦ τεχνήτης  *16,5.* μουσῶν θ᾽  *16,6.* ι —ην  *16,7.* συγχορεύτρειαν  *17,1.* μηδ᾽

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

μὴ τὴν κεφαλὴν καὶ κεφαλῆς τὰς τρίχας.
Οὐ γὰρ τὸ γῆρας ἐξαμείψειν ἰσχύσεις,
οὐ τὰς παρειῶν ἐκτανύσεις ῥυτίδας.
Ἢ πῶς ποτε, γραῦ, μῆτερ ἄλλων μητέρων,
δράσει τὸ φῦκος τὴν Ἑκάβην Ἑλένην;

Ἐκ τῶν ἐπιγραμμάτων τούτων προστίθενται εἰς τὰ ἑλληνικὰ λεξικὰ αἱ λέξεις *τρικάρχαρος* (**ϛ**, 5) καὶ *ξενουργός* (**Θ**, 2).

Ἐν δὲ τῷ κώδικι **Phil. gr. CX** τῆς ἐν Βιέννῃ Αὐτοκρατορικῆς βιβλιοθήκης περιλαμβάνεται ἐν φ. $515^{\beta}$ τὸ «Ἐπίγραμμα εἰς βοῦν καὶ τράγον ἐπὶ πίνακος ἀργυροῦ ἐγκεκολλαμμένου[ς]» τὸ ἐκδεδομένον ἐν τῇ Παλατινῇ ἀνθολογίᾳ (**Appendix epigrammatum** ἀρ. 311). Μόνη διαφορὰ ἀπὸ τῆς ἐκδόσεως εὑρίσκεται, ὅτι ἐν τῷ τρίτῳ στίχῳ ὁ Βιενναῖος κῶδιξ ἀντὶ *οὐχὶ* ἔχει κακῶς *οὐ*.

---

**5.** *ποτὲ*

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006